UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Stoicorvm vetervm fragmenta

Chrysippi fragmenta moralia

**Arnim, Hans von**

**Lipsiae, 1903**

Appendix I. Fragmenta Chrysippi, quae ad explicationem carminum Homericorum pertinent

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2776

Visual Library

# Appendix I.

## Fragmenta Chrysippi, quae ad explicationem carminum Homericorum pertinent.

**769** Scholia in Homeri Iliadem A 129. *Ζώϊλος δὲ ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητὴν ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι· τὸ γὰρ δῶσι φασί πληθυντικόν· ἀγνοοῦσι δὲ* etc.

**770** Scholia in Homeri Iliad. *Α* 405. *ὅς ῥα παρὰ Κρονίωνι· ὅτι ἐντεῦθεν ἐπὶ τοῦ Ἄρεως λέγεται οὐκ ὀρθῶς* (l. Il. *E* 906) *Ὅμηρος δέ, ὡς Στωϊκός, Ποσειδῶνος αὐτὸν εἶναί φησι.*

**771** Scholia in Hom. Iliad. *Θ* 441. *ἀμβωμοῖσι· Χρύσιππος ὑφ' ἓν προφέρεται, ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου* etc.

Etymol. Magn. s. v. *ἀμβωμοῖσιν· ἀντὶ τοῦ περὶ τοῖς βωμοῖς. Χρύσιππος ὑφ' ἓν προφέρει, ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου.*

**772** Scholia ad Hom. Iliad. *K* 252. *Χρύσιππος δὲ ὥσπερ εἴ τις, φησί, περὶ τριῶν ἡμερῶν διαλεγόμενος ἐν τῇ τρίτῃ λέγει μίαν ἀπολείπεσθαι ἔτι ἡμέραν, κἂν μὴ περὶ ὄρθρον ποιῆται τοὺς λόγους, οὕτως καὶ τὸν Ὀδυσσέα εἰ καὶ πλέον ἦν παρῳχηκὸς τῶν δύο μοιρῶν τὴν τρίτην φάναι καταλείπεσθαι, ἐπειδὴ τριμεροῦς οὔσης τῆς νυκτὸς ἕκαστον μέρος ἕν τι λαμβάνεται, ὥστε κἂν ἐλλιπὲς ᾖ τοῦτο καὶ μὴ ὁλόκληρον, ἀλλ' ἀριθμεῖσθαί γε τρίτην, τῷ τάξιν τῶν ἡμερῶν ἔχειν τὴν τρίτην. οὕτω γὰρ καὶ ἄνθρωπον παρὰ πόδα γενόμενον ἔτι τυγχάνειν τῆς ὅλης προσηγορίας.*

**773** Scholia in Hom. Iliad. *N.* v. 41. *Χρύσιππος δὲ ὁ Στωϊκὸς καὶ Διονύσιος ὁ Θρᾴξ δασύνουσι τὸ „αὐΐαχοι" ἵν' ᾖ ξηρόφωνοι.*

**774** Scholia in Hom. Iliad. *O.* v. 241. *ἀμφὶ ἓ γιγνώσκων· — — Χρύσιππος δὲ ψιλοῦν τὸ ε̄ ὡς περισσεῦον, καί φησιν „ἀμφιγνοῶν ἀντὶ τοῦ ἀντιβάλλων."*

**775** Scholia in Hom. Iliad. X 212. *μέσσα· Χρύσιππος ῥῦμα γράφει· τὴν γὰρ ῥοπὴν τοῦ ζυγοῦ ῥύμην καλεῖσθαι.*

---

Chrysippum, cuius in scholiis Pindari aliquot afferuntur explicationes, non esse philosophum Solensem, sed eiusdem nominis grammaticum demonstravit Alfred Körte. Mus. Rhen. LV 131.

**776** Scholia in Hom. Odyss. *E.* 240. *περίκηλα· Ἀρίσταρχος ὥσπερ ξηρὰ ἐκδεχόμενος, τὰ περικεκαυμένα ὑπὸ ἡλίου. Χρύσιππος δὲ διήρει, περὶ κῆλα, περισσῶς ξηρά.*

**777** Etymol. Magn. s. v. *ἐπικυνεῖν* (p. 361, 13 Gaisf.). *καὶ Χρύσιππος γράψει Κυλλήνιος Ἑρμῆς, ἐπειδὴ ἡ ῥάβδος αὐτοῦ ἀνδρῶν ὄμματα θέλγει — — Φαίακες δὲ θύουσιν αὐτῷ ἑσπέρας ὡς Ὅμηρος „ὅτε μνησαίατο κοίτου“ οὐχ ὅτι ὀνειρόπομπος ἦν ἀλλ' ὅτι ὕπνου ἡδέος αἴτιος.* Cf. Etymol. Gud. s. v. *ἐπικυνεῖν* et *ἐπισκύνειν.*

---

5 *γράφεται* Gud. s. v. *ἐπικυνεῖν.* ‖ Od. *ω* 1. 7 Od. *η* 138